5027

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ
# ΕΙΡΗΝΗΣ

---

**Ψαλλομένη τῇ 5 Μαΐου**

Ἐκδοθεῖσα ἐπηυξημένη ἐπιμελείᾳ καὶ ἀναλώμασι τοῦ Αἰδ.

**ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ**

Ἱερέως καὶ Πνευματικοῦ. Ἐφημερ. τοῦ ναοῦ Ὁσ. Μελετίου.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.



Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ

Ἀθῆναι Ἀπρίλιος 1928.

196

## ΠΑΣΧΑΛΙΟΝ ΠΑΣΧΑ ΚΑΙ ΑΓ. ΕΙΡΗΝΗΣ

***Ἀρχόμενον ἀπὸ τὸ ἔτος 1928 ἕως τὸ ἔτος 1942***

| | Πάσχα | | | Ἁγίας Εἰρήνης |
|---|---|---|---|---|
| Βίσεκτ. | 1928 | Ἀπριλίου | 2 | Παρασκ. μετὰ τῆς Σαμαρ. |
| | 1929 | » | 22 | Σάββατον μετὰ τοῦ Θωμᾶ |
| | 1930 | » | 7 | Κυριακὴ τῆς Σαμαρείτ. |
| | 1931 | Μαρτίου | 30 | Δευτέρα μετὰ τοῦ Τυφλοῦ |
| Βίσεκτ. | 1932 | Ἀπριλ. | 18 | Τετάρ. μετὰ τῶν Μυροφ. |
| | 1933 | » | 3 | Πέμ. μετὰ τῆς Σαμαρ. |
| | 1934 | Μαρτίου | 26 | Παρ. μετὰ τῆς Ἀναλήψ. |
| | 1935 | Ἀπριλ. | 15 | Σάββατ. μετὰ τοῦ Θωμᾶ |
| Βίσεκτ. | 1936 | Μαρτίου | 30 | Δευτ. μετὰ τοῦ Τυφλοῦ |
| | 1937 | Ἀπριλ. | 14 | Τρίτη μετὰ τῶν Μυροφ. |
| | 1938 | » | 11 | Τετ. τῆς Μεσοπεντηκοστ. |
| | 1939 | Μαρτίου | 27 | Τῆς Ἀναλήψεως |
| Βίσεκτ. | 1940 | Ἀπριλ. | 15 | Σάββατ. μετὰ τοῦ Θωμᾶ |
| | 1941 | » | 7 | Κυρ. τῆς Σαμαρείτιδος |
| | 1942 | Μαρτίου | 23 | Δευτ. μετὰ τῶν Ἁγ. Πατ. |

Τῇ ἱερᾷ καὶ ζωηρρήτῳ πηγῇ σου,
πεπλουτισμένη ποικιλίαν θαυμάτων.
Πάντες πιστοὶ προστρέχοντες πιστῶς καὶ εὐλαβῶς,
Πλοῦτον ἀρυόμεθα ἐξαισίων θαυμάτων.
Καὶ φριδρῶς γεραίρωμεν τοὺς σεπτούς σου ἀγῶνας
Οὕς περ ὑπήνεγκας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ,
Ἁγία ἔνδοξε Εἰρήνη μεγαλώνυμε.



***5 Μαΐου. Τῆς Ἁγίας ἐνδόξου μεγαλομ. Εἰρήνης.***

Ἀπολυτίκιον. Ἦχος Δ'.

Σοφίαν καὶ σύνεσιν, οὐ κεκτημένη σεμνή, σοφῶς ἐπεπόθησας τὸν σὸν νυμφίον Χριστόν, Εἰρήνη πανεύθυμε, ἤχθης διὰ βασάνων, τῷ ἀφθάρτῳ νυμφῶνι, εὔφρανας τὸν Σωτῆρα, τὸν νυμφίον ἐλθοῦσα, διὸ ἐν παρρησίᾳ αὐτῷ πρέσβευε σωθῆναι ἡμᾶς.

Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Κοντάκιον ἦχος Γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη Παρθένε, καὶ Μαρτύρων στέμμασι στεφανωθεῖσα Εἰρήνη, αἵματι τοῦ μαρτυρίου ἐρραντισμένη θαύμασι κατεστεφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς μάρτυς ἐδέξω βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

Μεγαλυνάριον.

Δέησιν προσάγαγε τῷ Θεῷ, Εἰρήνη θεόφρον, παρασχεῖν τοῖς ἁμαρτωλοῖς, ἄφεσιν πταισμάτων, καὶ δεινῶν σωτηρίαν, τοῖς πίστει θερμοτάτη σοι κραυγάζουσι.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἀλληλούϊα. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

## ΜΗΝΙ ΜΑΪΩι Ε'.
## ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ
## ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ ΕΙΡΗΝΗΣ

Εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, ἡ **Α'.** στάσις, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ'. καὶ ψάλλομεν τὰ παρόντα. Στιχηρὰ τῆς Ἁγίας.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πορφύραν ἐξ αἵματος λαμπράν, τοῦ οἰκείου πάνσεμνε, περιθεμένη ἀνέδραμες, πρὸς ὃν ἐπόθησας, Βασιλέα Κτίστην, τοῦ παντὸς καὶ Κύριον· πρὸς τούτου τε τῆς νίκης τὸν στέφανον, ὄντως ἀπείληφας σὺν αὐτῷ νῦν βασιλεύουσα, ὡς παρθένος καὶ Μάρτυς πολύαθλος.

Πυρὸς καταφλέγοντος ὁρμήν, ἤνεγκας πανεύφημε, ξέσεις τε πάσας τοῦ σώματος, ἐνατενίζουσα, πρὸς τὰς ἀντιδόσεις, τὰς ἐκεῖσε πάνσεμνε, ἃς μόνοις Ἰησοῦς προητοίμασε, τοῖς ἀγαπήσασι, καὶ θερμῶς αὐτὸν ποθήσασιν, ὡς νυμφίον, ψυχῶν ὡραιότατον.

Ἐθέλχθης τῷ ἔρωτι Χριστοῦ καὶ θεοὺς ἐμίσησας, ἐθνῶν καὶ ἄψυχα ξόανα, Εἰρήνη ἔνδοξε, καὶ θεογνωσίας στήλην ἐμφανέστατα, σαυτὴν τοῖς καθορῶσιν ἀνέστησας, ὡς ἐναθλήσασα, καὶ τὸν δρόμον τελειώσασα, καὶ τὴν πίστιν ἄμωμον τηρήσασα.



Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὡς παρθένον κειμήλιον, καὶ ἀνάθημα ἔνθεον, οἱ τεκόντες ἔθεντο παναοίδιμε, ἐν ὑπερῴῳ οἰκήματι, ἐξ οὗ δι' ὀρνέων σε, ὁ νυμφίος προσκαλεῖ, εἰς νυμφῶνα πανάμωμε, τὸν οὐράνιον, ἐρασθεὶς σου τοῦ κάλλους, ὦ Εἰρήνη, ὦ καὶ πίστει συνηρμόσω, καὶ τοῖς συμβόλοις ὑπέκυψας.

Ὡς ἐτρώθης τῷ ἔρωτι, τοῦ νυμφίου σου πάνσεμνε, πάντα κατεφρόνησας, ὡς ἐπίκηρα πλοῦτον καὶ δόξαν βασίλειον, τρυφὴν ἡδυπάθειαν καὶ γονέων τὴν στοργήν, καὶ συντρίψασα ξόανα ἠκολούθησας τῷ καλοῦντι Εἰρήνη καὶ παρέστης, ὡς βασίλισσα παρθένε, πεποικιλμένη τοῖς στίγμασιν.

Ὡς μαρτύρων ἀγλάϊσμα, καὶ παρθένων ἀπάνθισμα, καὶ ἡμῶν τὸ μέγιστον ἐγκαλλώπισμα, μάρτυς Εἰρήνη πολύαθλε, συντήρησον ἅπαντας τοὺς ἐν εἰρήνῃ σταθερᾷ τοὺς τιμῶντας τὴν μνήμην σου παναοίδιμε, ταῖς πρὸς Θεὸν μεσιτείαις σου. Δόξα ἦχος δ'.

Τὴν σὴν ὑπεράνθρωπον ἄθλησιν, Εἰρήνη παναοίδιμε, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ ἔθνη, ἀλλὰ καὶ ἄλογος φύσις, καὶ πῦρ, καὶ ὕδωρ ᾐδέσθησαν· ἵπποι μὴ ἐνεγκόντες τὴν πατρῴαν ὀργήν, σὲ μὲν ηὐλαβήθησαν μὴ προσειπόντες τὸ σύνολον, αὐτοῦ δὲ διελέγχοντες ἀνθρωπίνῃ φωνῇ τὴν χεῖρα κατέαξαν, ὃν καὶ φιλανθρώπως ἰάσω, χειραγωγήσας πρὸς τὴν εὐσέβειαν σὺν τῇ μητρί,

ΠΑΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ ἄλλῳ πλήθει πολλῷ, δυνάμει τοῦ σοῦ νυμφίου Χριστοῦ, οὓς ὡς προῖκα δωροφορήσασα, καὶ πρώτην καλὴν ἀπαρχὴν αὐτῷ προσενέγκασα, πρεσβεύε ς ἀπαύστως τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν τῆς ἑορτῆς, εἴσοδος καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν τοῦ εἶναι εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· οὕτω λέγει Κύριος ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ, ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν, τὸν δοῦλον τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτὸν ἔναντι Κυρίου, ὅτι πιστὸς ἐστὶν ὁ ἅγιος τοῦ Ἰσραήλ, καὶ ἐξελέξατό σε, οὕτω λέγει Κύριος· καιρῷ ἐπήκουσά σε, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε, καὶ ἔθηκά σε εἰς διαθήκην Ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθαι· ἐν πάσαις ταῖς ὁδοῖς βασκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν· οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν· οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων οὐδὲ ὁ Ἥλιος, ἀλλ᾽ ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει αὐτούς.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ...



Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μήτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει· οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην· καὶ εἰρήνη, καὶ ἀγαλλίαμα ἐναντίον τῶν ἐθνῶν· διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνοίσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται.

Καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου, καὶ οὐκέτι κληθήσῃ κα αλελειμμένη, καὶ ἡ γῆ σου οὐκέτι κληθήσεται ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα τὸ ἐμόν, καὶ τῇ γῇ σου οἰκουμένῃ· ὅτι εὐδοκήσει Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικηθήσεται, καὶ ὡς συνοικῶν νεανίσκος σὺν παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ, καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται ὁ Νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Υἱὲ ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα ὑγιῶς· ἄνοιγε σὸν στόμα, κρίνε δικαίως·

διάκρινε πένητα καὶ ἀσθενῆ· γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἡ καρδία αὐτοῦ ἀνδρὸς αὐτῆς ἐπ' αὐτῇ· ἡ τοιαύτη σκύλου οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθά· καὶ οὐ κατὰ πάντα τὸν χρόνον.

Εὑρομένη ἔρια καὶ λῖνον, ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς· ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη, μακρόθεν συνάγει ἑαυτῆς τὸν πλοῦτον, καὶ ἀνίσταται ἐκ νυκτῶν· καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο· ἀπὸ δὲ τῶν καρπῶν αὐτῶν αὐτῆς κατεφύτευσε κτῆμα, ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, εἴρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον· ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα· τὰς χεῖρας αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα, τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον· θύραν δὲ αὐτῆς διήνοιξε πένητι, καρδίαν ἐξέτεινε πτωχῷ, οὐ φροντίσει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῇ ἐνδεδυμένοι εἰσὶ δι' ὅσας στολάς, καὶ χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσων καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν καθέζηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων, καὶ κατοίκων τῆς γῆς· σινδόνας ἐποίησε καὶ ἀπέδοτο Φοίνιξι, περιζώματα



δὲ τοῖς Χαναναίοις, ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις· στόμα δὲ αὐτῆς, διήνοιξε ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς, στεναὶ διατριβαὶ οἴκων αὐτῆς· σῖτον δὲ οὐκ ἔφαγεν· ἀνέστη τὰ τέκνα αὐτῆς, καὶ ᾔνεσαν αὐτήν, καὶ ὁ ἀνὴρ αὐτῆς ἐπῄνεσεν αὐτήν· πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν, πολλαὶ ἐκτήσαντο πλοῦτον, πολλαὶ εὔξαντο δόξαν, σὺ δὲ καὶ ὑπερῇρας πάσας, ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος οὐκ ἔστιν ἐν σοί· γυνὴ συνετὴ εὐλογεῖται· φόβον Κυρίου αὕτη αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπὸν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις αὐτῆς ὁ ἀνήρ.

Εἰς τὴν λιτὴν ἰδιόμελα ἦχος α'.

Ἀθλητικὸν στάδιον σήμερον πρόκειται, λαοὶ χορέυσωμεν, καὶ τὰ ἐν αὐτῷ τελούμενα παράδοξα πράγματα κατοπτεύσωμεν· ἄσπιλος γὰρ ἀμνὰς πρόκειται σφαγῇ ὑπὲρ τοῦ σφραγιασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Εἰρήνη ἡ καλλιπαρθένος, καὶ θεόνυμφος· διὸ Τριάδος τῇ πίστει τὴν τῶν τυράννων ἔλυσεν ἀθεότητα, καὶ σὺν ἀγγέλοις χορεύουσα τῷ σωτῆρι πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ἀναθεῖσα ἑαυτὴν παντοδυνάμῳ νεύματι, κρατυνομένη τῷ ἔρωτι τοῦ Χριστοῦ, καὶ τὴν γεώδη καταλείψασα στοργήν, ἐνεδύσω τὴν λαμπάδα τῆς αἰωνίου ζωῆς, ὄλβιος, ὑπάρξασα θάλαμος,

εἰς ὃν ἀγέλαι προσαναπαύονται, εἴσοδον εὑράμεναι τῆς αἰωνίου ζωῆς, μεθ' ὧν ἱκέτευε Χριστῷ, Εἰρήνη τρισόλβιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχ. γ΄.

Χορείας ἐγείρατε φιλομάρτυρες, τῶν ἀγώνων ἐφέστηκεν ὁ καιρός, καὶ τῆς παρθενομάρτυρος Εἰρήνης ἡ ἐτήσιος μνήμη, πάντας εἰς δοξολογίαν προτρέπουσα Θεοῦ· ἀνδρείως γὰρ ἀνθεσταμένη κατὰ τῶν τυράννων ἐχθρῶν τὸν παλαμναῖον δράκοντα γενναίως κατεπάτησε, καὶ τὸ στέφος ἤρατο τῆς ἀθλήσεως, καὶ παρρησίᾳ πρεσβεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Δοξάζομέν σου Χριστὲ τὴν πολλὴν εὐσπλαγχνίαν καὶ τὴν ἀγαθότητα τὴν εἰς ἡμᾶς γενομένην, ὅτι καὶ γυναῖκες κατήργησαν τὴν πλάνην τῆς εἰδωλομανείας, δυνάμει Σοῦ φιλάνθρωπε τυράννων ἀπειλὰς οὐκ ἐπτοήθησαν, τὸν δόλιον ὄφιν κατεπάτησαν, ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν· εἰς ὀσμὴν μύρου σου ἔδραμον· διὸ καὶ ἡ καλλιπάρθενος Εἰρήνη, τρόπαιον ἔστησε κατὰ τοῦ κοσμοκράτορος ἀνδρείως καὶ ἠγωνίσατο, καὶ στέφος εἴληφε παρὰ τῆς σῆς δεξιᾶς, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος πλ. α΄.

Ἐθαυματούργησε Χριστὲ τοῦ Σταυροῦ σου ἡ δύναμις, ὅτι καὶ ἡ Εἰρήνη ἡ καλλιμάρτυς, ἀθλητικὸν ἀγῶνα ἠγωνίσατο· ὅθεν καὶ τὸ ἀσθενὲς τῆς φύσεως ἀπορριψαμένη, γενναίως ἀντέστη κατὰ



τῶν τυραννούντων, εἰς καλλίνικον γὰρ πόλιν ἐλθοῦσα, κατῄσχυνε Νουμεριανὸν τὸν τύραννον, διαρραγέντος παραδόξως τοῦ πεπυρακτωμένου χαλκουργήματος, ἐν ᾧ ἐβλήθη καταφλεχθῆναι, καὶ σῶα ἐξελθοῦσα τῇ δυνάμει τοῦ Σταυροῦ, δῆμον ὅλον ἐξέπληξε, καὶ εἰς Θεὸν πιστεῦσαι πεποίηκε· διὸ παρρησίαν πρὸς τοῦτον ἔχουσα, πρεσβεύει ὑπὲρ εἰρήνης καὶ σωτηρίας ἡμῶν.

Ἦχος πλ. β΄.

Σταυρὸν ὡς ὅπλον κραταιόν, παρθενομάρτυς Εἰρήνη κατέχουσα ταῖς χερσί, τὴν πίστιν δὲ ὡς θώρακα ἐλπίδα ὡς θυρεόν, ὡς τόξον δὲ τὴν ἀγάπην, τῶν τυράννων τὰς τιμωρίας ἀνδρείως ἐνίκησας, καὶ δαιμόνων τὰς πανουργίας ἐνθέως κατήργησας, θανάτῳ παραδόξως ἀνίστασαι, δυνάμει τοῦ ὑπὲρ ἡμῶν Σταυρωθέντος, καὶ τὸν θάνατον καταργήσαντος, Χριστοῦ τοῦ Θεοῦ, καὶ σωτῆρος τῶν ψυχῶν ἡμῶν. Δόξα, ἦχος πλ. α΄.

Τῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι ὁ βασιλεὺς τῆς δόξης Χριστὸς ὡς ἀμώμητόν σε νύμφην ἑαυτῷ ἡρμόσατο, συναφείᾳ ἀκηράτῳ, ἐν γὰρ τῷ θελήματι αὐτοῦ, παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ' ἐχθρῶν τε καὶ παθῶν ἀήττητον ἔδειξεν, ἐγκαρτερήσασα αἰκίαις πικραῖς, καὶ βασάνοις δριμυτάτοις, διπλοῦ στέφει λισσῶς σὲ κατέστεψε, καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ ὡς Βασίλισσαν πεποικιλμένην, αὐτὸν δυσώπει παρθενο-

μάρτυς Εἰρήνη, τοῖς ὑμνηταῖς σου δωρήσασθαι Εἰρήνη, καὶ σωτηρίαν, καὶ μέγα ἔλεος.

Καὶ νῦν τῆς Ἑορτῆς *Ἀπόστιχα ἦχος β'.*

Ὅτε ἐκ τοῦ ξύλου σου νεκρῶν.

Ὅτε ἡ καλὴ περιστερά, κλάδον τῆς ἐλαίας προσῆγεν, ἀετὸς στέφανον, ὄφιν δὲ ὁ κόραξ σοι, σύμβολα ἔγνωκας, τοῦ καλοῦντος νυμφίου σου, καὶ τούτου τῷ κάλλει, ὡς διψῶσα ἔδραμες, δορκὰς Εἰρήνη σεμνή, καὶ τῷ μαρτυρίῳ συνήφθης, νύμφη χρηματίσασα ὄντως, εἰς νυμφῶνα κόρη τὸν οὐράνιον.

*Καὶ ἔστη καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.*

Ὅτε προμυθίᾳ Θεϊκῇ, προγινωσκομένῃ Εἰρήνῃ, σοφῶς ἐκέκλησο, τότε πανaοίδιμε πάντα κατέλιπες, καὶ τρυφὰς καὶ βασίλεια, καὶ πλοῦτον καὶ δόξαν, καὶ πρὸς τὸν καλοῦντά σε νυμφίον ἔσπευσας, πόνους καὶ ποινὰς καὶ στρεβλώσεις, πάντα ὑπομείνασα μάρτυς, ἵνα τῆς αὐτοῦ τύχῃς θεότητος.

Στίχος. Ὑπομένειν ὑπέμεινα τὸν Κύριον.

Ὅτε ἐξανέστης ἐκ νεκρῶν, κρίμασιν οἷς οἶδεν, ὁ πάντα γινώσκων Κύριος, τότε πανaοίδιμε, ὥσπερ ἀκτῖνα φωτός, τὴν ζοφώδη κακόνοιαν, εἰδωλομανίας, πᾶσαν διεσκέδασας, Εἰρήνη πάνσεμνε, καὶ πρὸς τοὺς λαοὺς γενομένη, θαύμασι καὶ τέρασι τούτους, πρὸς θεογνωσίαν καθωδήγησας.

*Δόξα ἦχος δ'.*

Ὅλβον λιποῦσα πατρικόν, Χριστὸν δὲ ποθοῦσα εἰλικρινῶς, δόξαν ἤρατο ἡ μάρτυς, καὶ πλοῦτον οὐράνιον, καὶ τῇ παντευχίᾳ τοῦ ἁγίου πνεύματος περιφραχθεῖσα, τῷ ὅπλῳ τοῦ Σταυροῦ τοὺς τυράννους κατῄσχυνεν· ὅθεν ἄγγελοι τοὺς ἀγῶνας θαυμάζοντες ἔλεγον· πέπτωκεν ὁ ἐχθρὸς ὑπὸ γυναικὸς ἡττηθείς, στεφανίτις ἀνεδείχθη ἡ καλλιπάρθενος Εἰρήνη καὶ Χριστὸς εἰς τοὺς αἰῶνας βασιλεύει ὡς Θεός, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, ὑπὲρ Εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.



Καὶ νῦν τῆς Ἑορτῆς. *Ἀπολυτικίον τῆς Ἁγίας ἦχος δ'.*

Σοφίαν καὶ σύνεσιν, σὺ κεκτημένη σεμνή, σοφῶς ἐπεπόθησας, τὸν σὸν νυμφίον Χριστόν, Εἰρήνη πανεύφημε, ἤχθης διὰ βασάνων, τῷ ἀφθάρτῳ νυμφῶνι, εὔφρανας τὸν Σωτῆρα, τὸν νυμφίον ἐλθοῦσα, διὸ ἐν παρρησίᾳ αὐτῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

*Ἀπολ ἦχ.* Α'. Τῆς ἐρήμου πολίτης.

Ὁ Χριστὸς ἡ εἰρήνη σὲ Εἰρήνην ἐκάλεσε. Σὺ γὰρ τὴν εἰρήνην βραβεύεις τοῖς τελοῦσι τὴν μνήμην σου, καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, προστρέχουσι τῷ θείῳ σου Ναῷ, καὶ πρεσβεύεις ὑπὲρ πάντων τῇ Τρισηλίῳ παρισταμένη θεότητι. Ἅπαντες οὖν χαρμονικῶς, τὴν μνήμην αὐτῆς τελέσωμεν, τὸν ἀντιδοξάσαντα αὐτὴν Χριστὸν μεγαλύνοντες.

**Ἀπόλυσις Ἑσπερινοῦ.**

ΕΛΛΗΝΙΚΗ ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ / ΝΕΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

***Εἰς τὸν ὄρθρον.*** **Μετὰ τὴν α' στιχολ. κάθ.**
**Ἦχ. πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.**

Τὴν οὐράνιον νύμφην τοῦ ποιητοῦ, καὶ ἀκήρατον κόρην τοῦ λυτρωτοῦ, Εἰρήνην τιμήσωμεν, τὴν ἀμνάδα τὴν πάντιμον, τὴν καὶ μετὰ πότμον ἐν νεφέλαις ἀρθεῖσαν, Μαγεδὼν ἐκ πόλεως, καὶ εἰς Ἔφεσον φθάσασαν, ἔνθα τοῖς σημείοις καὶ τοῖς τέρασι πάντας ἐνθέως ἐξέπληξας, καὶ τὴν πίστιν ἐκήρυξας, ἀθλοφόρε ἀήττητε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

**Δόξα τὸ αὐτό, καὶ νῦν τῆς Ἑορτῆς. Μετὰ τὴν β' στιχολ. κάθισμα. Ἦχ. δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα φαιδρῶς εὐπρεπήσασα, Εἰρήνη μάρτυς ἔνδοξε πανεύφημε, τανῦν εἰσελήλυθας, σὺν αὐτῷ εἰς νυμφῶνα, στέφος τῆς ἀθλήσεως παρ' αὐτοῦ δεξαμένη, ᾧ παρεστῶσα πρέσβευε ἀεί, ὑπὲρ τῶν πίστει τελούντων τὴν μνήμην σου.

**Δόξα τὸ αὐτό, καὶ νῦν τῆς Ἑορτῆς. Μετὰ τὸν Πολυέλεον Κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγησαν ἁγνή, μάρτυς Εἰρήνη οἱ χοροί, τῶν ἀγγέλων καὶ βροτῶν, φύσις ἐξέστη ἐπὶ σοί, πῶς τὸν ἀρχέκακον δράκοντα κατεπάτησας, ὡραίοις σου ποσὶ καὶ κατηδάφισας καὶ πλήθη ἀσεβῶν ἐχειραγώγησας, καὶ διαδήματι κάλλους παρὰ Χριστοῦ τοῦ Νυμφίου σου ἐστέφθης· διὸ αἰτοῦμεν, μὴ ἐπιλάθου καὶ ἡμῶν τῶν τιμώντων σοι.



**Δόξα τὸ αὐτό, καὶ νῦν τῆς Ἑορτῆς. Οἱ Ἀναβαθμοὶ τοῦ δ' ἤχου. Προκείμενον ἦχος δ'.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

**Ζήτει τῇ Πέμπτῃ τῆς Η' Ἑβδομάδος Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν Σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλει τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν. Ὃς δ' ἂν ἀπολέσαι τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Τί γὰρ ὠφελεῖτε ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδίσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. Ἀμὴν λέγω ὑμῖν. Εἰσὶ τινὲς τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

**Ὁ Ν' Δόξα. Ταῖς τῆς ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα, Ἐλέησόν με ὁ Θεός.**

**Τροπάριον ἦχος β'.**

Ἀναθεῖσα ἑαυτὴν παντοδυνάμῳ νεύματι, κραθυνομένη τῷ ἔρωτι τοῦ Χριστοῦ καὶ τὴν γεώδη καταλείψασα στοργήν, ἐνεδύσω τὴν λαμπάδα τῆς

αἰωνίου ζωῆς, ὄλβιος ὑπάρξασα θάλαμος, εἰς ὃν ἀγέλαι προσαναπαύονται, εἴσοδον εὐράμεναι τῆς αἰωνίου ζωῆς, μεθ' ὧν ἱκέτευε Χριστῷ, Εἰρήνη τρισόλβιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου.

Τὸ Κύριε ἐλέησον 12κις. Καὶ οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τῆς Ἁγίας. Ὁ Κανὼν τῆς Ἁγίας.

Σαῖς με προσευχαῖς μάρτυς Εἰρήνη σκέπε.

Ὠδὴ α'. Ἦχος δ'. Ἄσομαί σοι Κύριε.

Στέφανος ὑπάρχων τῆς Ἀθληφόρου ταύτης Χριστὲ ταῖς πρεσβείαις, εἰρήνην τῷ κόσμῳ, καὶ δόξαν τὴν ἀμάραντον, τοῖς ὑμνοῦσί σε δώρησαι.

Αἴγλη διαλάμπουσα παρθενίας, καὶ κοσμουμένη τῷ κάλλει, τῆς σῆς μαρτυρίας. Εἰρήνη με γαλώνυμφε, σῷ Νυμφίῳ παρίστασαι.

Ἵλεων γενέσθαι ταῖς Ἐκκλησίαις, τὸν σὸν δυσώπει Νυμφίον, Εἰρήνη θεόφρον, καὶ πταισμάτων τὴν ἄφεσιν, παρέχειν τοῖς ὑμνοῦσί σε.

Θεοτοκίον.

Σάρκα γεγονότα τὸν Θεὸν Λόγον, καὶ πεφηνότα καθ' ἡμᾶς, Ἁγία Παρθένε, ἀφράστως ἀπεκύησας, ὑπὲρ λόγον καὶ ἔννοιαν.

Ὠδὴ γ'. Τόξον δυνατῶν ἠσθένησε.

Μύρου κενωθέντος αἴσθησιν, τοῦ τὴν οἰκουμένην εὐωδιάσαντος χάριτι, δεξαμένη ἀνεπτερώθης, πρὸς τὸν τούτου πόθον ἔνδοξε.

Ἔσχες τὸν Θεὸν συλλήπτορα, ἐν τοῖς σοῖς



αὐτὸν μαχομένην σε θεώμενος, ἀνδροπρεποῦς φρονήματος. Μάρτυς καὶ δυνάμεως ἔπλησε.

Συντονωτάταις προθυμίαις ὑπερβέβηκας τὸ τοῦ θήλεως χαῦνον παμμακάριστε, καὶ σταθερῶς διήλεγξας, Μάρτυς τοὺς τῇ πλάνῃ δουλεύοντας.

Ἐνθεωτάτην καρτερίαν ἐπιδέδειξαι καὶ τυράννων τὸ θράσος καταβέβληκας, τῷ σῷ Νυμφίῳ κράζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Ὑμνολογίαις ἀσιγήτοις καὶ δεήσεσι, τὸν Δεσπότην Θεόφρον ὑμνολόγησας, καὶ πρὸς αὐτὸν ἀνέδραμες, δόξαν ὀψομένη τὴν ἄφραστον.

Θεοτοκίον.

Χαρμονικήν σοι γεγηθότες φωνὴν Πάναγνε, διὰ σοῦ οἱ σωθέντες ἀνακράξομεν· χαῖρε Παρθένε πάνσεμνε, χαῖρε Θεοτόκε πανύμνητε.

Ὠδὴ ε'. Τὸν φωτισμόν σου Κύριε.

Ἀνδρειοτέρῳ Ἔνδοξε φρονήματι Χριστὸν Θεὸν τῶν ὅλων τρανῶς ὡμολόγεις· λόγῳ δὲ στερρῷ τοὺς ἀντιπάλους, Ἀθλοφόρε κατῄσχυνας.

Ἰχνηλατεῖν ἐπόθησας τὸ πάθος τοῦ Χριστοῦ, καὶ τῇ μιμήσει θερμῶς ἠκολούθεις, ἀγωνιστικῶς ὑπεραθλοῦσα, τοῦ Δεσπότου Πανόλβιε.

Στέφη Μαρτύρων Ἔνδοξε, προσήνεγκας Χριστῷ, τῇ σῇ σοφίᾳ καὶ θεολογίᾳ, τούτοις ἀληθῶς μυσταγωγοῦσα, καὶ τῷ λόγῳ τῆς χάριτος.

Θεοτοκίον.

Μεμυημένοι μυστήριον συλλήψεως τῆς σῆς,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ τοῦ ἀφράστου καὶ θείου σου τόκου σὲ πανευσεβῶς ὑμνολογοῦμεν, Θεοτόκε πανύμνητε.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέως.

Ὠδὴ στ΄. Ἐβόησε. προτυπῶν.

Ἀνώρθωσας τῆς προμήτορος Εὔας τὴν ἔκπτωσιν, Ἀθληφόρε, τοῦ ἐχθροῦ καθελοῦσα τὴν δύναμιν, καὶ καταβαλοῦσα, τὴν ἐκείνου ὀφρὺν θείᾳ χάριτι.

Ρωμαλέον, κεκτημένη Εἰρήνη τὸ φρόνημα τοῖς τυράννοις, ἀντιτάξω ψυχῆς γενναιότητι, καὶ στεφάνῳ νίκης πρὸς Χριστοῦ τοῦ Θεοῦ ἐστεφάνωσαι.

Τῷ αἵματι, τῆς ἀθλήσεως Μάρτυς φαιδρότερον ἀπειργάσω τὸ τῆς φύσεως κάλλος τὸ ἄχραντον, γενικοὺς ἀγῶνας, ὑποστᾶσα στερρῶς καλλιπάρθενε. Θεοτοκίον.

Ὑπέφηνε τὸ μυστήριον σοῦ τῆς κυήσεως, ὁ Θεόπτης, καιομένην τὴν βάτον θεώμενος, καὶ μὴ φλεγομένην, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, καὶ Μαρτύρων στέμμασι, στεφανωθεῖσα Εἰρήνη, αἵματι τοῦ μαρτυρίου ἐρραντισμένη, θαύμασι καταστραφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

Κοντάκιον. Ἦχος Δ΄. Ὁ Ὑψωθείς.

Τὴν καλλιπάρθενον ὑμνήσωμεν πάντες νύμ-



φην Χριστοῦ, ἐκ τῶν νεκρῶν ἀναστᾶσαν, ἣν ὁ Θεὸς ἐδόξασε σημείοις φρικτοῖς. Εἵλκυσε γὰρ πλῆθος ἄπειρον ἀσεβῶν ἐν τῇ πίστει καὶ θεόθεν ἔλαβε τὴν Χριστώνυμον κλῆσιν. Ὁ τοῦ Θεοῦ γὰρ Ἄγγελος ἐλθών, ἐκ Πηνελόπης, Εἰρήνην ἐκάλεσε... Ὁ Οἶκος.

Τοῦ νυμφίου Χριστοῦ ἔρωτι, Παναοίδιμε, ἀπὸ βρέφους Σεμνὴ πυρποληθεῖσα ἔδραμες, δορκὰς ὡς διψῶσα πηγαῖς ἀειρρύτοις· καὶ τῇ ἀθλήσει σεαυτὴν συντηρήσασα, ἐν τῷ ἀφθάρτῳ ὄντως τοῦ Κτίστου σου θαλάμῳ ἔνδοξε, ὡς νύμφη εὐκλεής, ἐστολισμένη, εἰσῆλθες ὡς ἐκλεκτή, στεφανηφόρος ὁραθεῖσα, ἐξ ἀφθάρτου Νυμφίου δεξαμένη, ὡς χρύσιον, βραβεῖον νίκης τῆς σῆς ἀθλήσεως.

Τῇ 5 τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας Μεγαλομ. καὶ ἰσαποστόλου Εἰρήνης. Στίχοι.

Ξίφει θανοῦσα, καὶ βιώσασα ξένως.
Εἰρηνικῶς τέθνηκας αὖθις Εἰρήνη.

Εἰρήνη τιμηθεῖσα, ἀνήρετο καὶ θάνε πέμπτη κτλ. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τῶν Ἁγίων Μαρτύρων Νεοφύτου Γαΐου, καὶ Γαϊανοῦ. Τελεῖτε δὲ αὐτῶν ἡ σύναξις ἐν τῷ σεπτῷ καὶ σεβασμίῳ Ναῷ, τῶν Ἁγίων ἐνδόξων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῷ ὄντι ἐν τοῖς Δαρείοις. Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ Ναοῦ τῆς ὑπεραγίας Θεοτόκου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐν τοῖς Κύρου. Τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

Ὠδὴ ζ'. Ἀβραμιαῖοί ποτε.

Στεφανηφόρος Σεμνή, παρισταμένη θρόνῳ τοῦ σοῦ Δεσπότου περιφρούρησον, τοὺς πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐν Οὐρανίαις σκηναῖς, περιχορεύειν Μάρτυς, κατηξιώθης ἀξιάγαστε, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἡ μειρομένη τυχεῖν, τοῦ ἐραστοῦ σου κάλλους, βασάνων πόνους ἐκαρτέρησας, Εἰρήνη κραυγάζουσα. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ρήσει χειλέων τῶν σῶν, ἀκολουθοῦντες πίστει, σὲ Θεομήτηρ μακαρίζομεν, βοῶντες τῷ τόκῳ σου. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ἤθλησας Εἰρήνη μακαρία, γενναίως καὶ τοὺς τυράννους καταβέβληκας, ἔχουσα συμπράττουσαν, τὴν ἀκαταμάχητον, τοῦ σοῦ Δεσπότου δύναμιν, καὶ συνεργοῦσαν σοι, καὶ Κύριον ὑμνεῖτε, ἐβόας, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νεάνις ἀγάπῃ τετρωμένη, ὀπίσω τοῦ σοῦ Νυμφίου ἠκολούθησας, Εἰρήνη πανένδοξε, τούτου τὰ παθήματα, ἐν τῇ σαρκί σου φέρουσα, καὶ ἀναμέλπουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑ-



περυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ σὴ ἐν βασάνοις καρτερία, Εἰρήνη στεφανηφόρε κατεγέλασε, τῶν τῆς ματαιότητος καὶ τῆς ἀθεότητος, ἀντεχομένων ἔνδοξε· πίστει δὲ ἔψαλλες. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Σοφία Θεοῦ πάντων τεχνῖτις γαστρί σου Παρθενομῆτορ ἐσκηνώσασα, οἶκον ᾠκοδόμησεν, ἔννουν τε καὶ ἔμψυχον, τὸν ἑαυτῆς καὶ ἔσωσε, κόσμον κραυγάζοντα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Κύκλῳ περὶ τὸν σὸν ἐραστὴν χορεύουσα, ἐν ὑψίστοις καλλιπάρθενε αἴτησαι κόσμῳ τὴν Εἰρήνην, Εἰρήνη, καὶ πταισμάτων τὴν ἄφεσιν, τοῖς πίστει ἐκτελοῦσι τὴν μνήμην σου, τὴν φωτοφέρον καὶ πανίερον.

Ἔνδον τῆς παστάδος σε Χριστὸς ὡς Μάρτυρα, καὶ Παρθένον κατεσκήνωσεν, ἔνθα Παρθένοις συναγάλλῃ, καὶ σὺν τοῖς τῶν Μαρτύρων στρατεύμασιν, Εἰρήνη στεφανηφόρε πανεύφημε· ὅθεν σὲ πάντες μακαρίζομεν.

Πύλας διανοίξας οὐρανῶν ἐδέξατο, τὴν ψυχήν σου τὴν πανάμωμον, μόνος ὁ πάντων βασιλεύων, καὶ τῆς δικαιοσύνης ὁ πρύτανις, Εἰρήνη, θείας Εἰρήνης ἐπώνυμε· ὅθεν σε πάντες μακαρίζομεν.

Θεοτοκίον.

Ἔχουσα πρὸς τὸν ἐκ σοῦ Υἱὸν πανάχραντε, παρρησίαν ἀνεπαίσχυντον, τοῦτον δυσώπει Παναγία, τῷ κόσμῳ τὴν εἰρήνην δωρήσασθαι, καὶ πάσαις Ἐκκλησίαις ὁμόνοιαν, ἵνα σὲ πάντες μεγαλύνωμεν. Καταβασία. Ὁ Ἄγγελος ἐβόα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ρυσθεῖσα καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, τυράννων ἔλυσας θράσος, ἐλθοῦσα Μάρτυς γενναίως· καὶ πρὸς Χριστοῦ ἀπείληφας βραβεῖα νίκης πάνσεμνε, Εἰρήνη μεγαλώνυμε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου. Ὅμοιον. Καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν. Στιχηρὰ ἰδιόμελα τῆς Ἁγίας. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Θείαις ἐπιγνώσεσι τὴν καθαράν σου διάνοιαν, καταυγάσας ὁ Κύριος, ἀγνοίας λυτροῦταί σε, βαθυτάτου σκότους, ἥλιος ὑπάρχων, δικαιοσύνης ἀληθῶς, μάρτυς Εἰρήνη Θεομακάριστε, ἐντεῦθεν τὰ σεβάσματα, τῆς πονηρίας συνέτριψας, καὶ Χριστοῦ τὰ παθήματα, καρτερῶς ἐξεικόνισας.

Ἄνακτας παράφρονας, καὶ δυσσεβεῖς σὺ κατῄσχυνας, ὑποστᾶσα πανόλβιε, τοὺς πόνους καὶ σκώμματα, οὓς αὐτοὶ προσῆξαν, λάκκῳ σε βαλόντες, τῶν ἰοβόλων ἑρπετῶν, καὶ τοὺς ὡραίους πόδας σου ἔπρισαν, τροχῷ δεσμήσαντες πάνσεμνε, ἐξ ὧν πάντων ἐρρύσατο, δι' ἀγγέλων σε Κύριος.



Ὥσπερ ὡραΐσματα, τὰ τῆς σαρκός σου σπαράγματα, νυμφικῶς περιστέλλουσα, πορφύραν ἐξ αἵματος, λαμπρῶς βεβαμμένην, μάρτυς ἐνεδύσω, καὶ τῷ νυμφίῳ σου Χριστῷ, πεποικιλμένη θείαις λαμπρότησι, Εἰρήνη ναοῦ παρίστασαι, περιχαρῶς τῆς θεώσεως, ἀπολαύουσα πάντοτε, σὺν παρθένοις καὶ μάρτυσι. Ἦχος β'.

Τὴν πανήγυριν σήμερον, τῆς ἀθλοφόρου Εἰρήνης, δεῦτε λαοὶ ὑμνήσωμεν· ταύτην γὰρ οὔτε ξίφος, οὔτε πῦρ, οὔτε ἄλλη βάσανος, οὔτε τοῦ πολυπλόκου Βελίαρ τὰ ἔνεδρα ἐτροπώσατο· Χριστὸν ἱκέτευε, Καλλιμάρτυς πανένδοξε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Δόξα ἦχος β'.

Ὡς ἀλάβαστρον μύρου, τὸ αἷμά σου προσενήνοχας τῷ σῷ Νυμφίῳ Χριστῷ Εἰρήνη μάρτυς ἀθλοφόρε ἀήττητε, ἀντάμειψιν δὲ εἴληφας, στέφος ἄφθαρτον, παρ' αὐτοῦ ἀξιάγαστε. Ὅθεν καὶ τοῖς παραδόξοις τέρασι, τοὺς τυράννους ἔπληξας, καὶ μυριάδας ἀσεβῶν, πρὸς τὴν θείαν πίστιν ἐχειραγώγησας, ὡς προῖκα δοροφορίας, τούτους προσάγουσα αὐτῷ· διὸ καὶ οὐρανίων θαλάμων σὲ κατηξίωσε Χριστὸς ὁ φιλάνθρωπος, καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν Θεοτοκ. ἢ τῆς Ἑορτῆς.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε· Αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Τιμόθεον Α΄. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος· Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν· μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ᾽ ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον· τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος· (εἰδέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;) μὴ νεόφυτον· ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν· ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς· ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει· καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες. Γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι. Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων· οἱ γὰρ καλῶς διακονήσαντες,

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟ



βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς μὴ μεριμνήσετε πῶς ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε: οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ἡμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται.

***Μακαριστήρια εἰς τὴν Ἁγίαν Εἰρήνην.***

Ἀντὶ τοῦ Κοινωνικοῦ.

Αἱ γενεαὶ πᾶσαι μεγαλύνωμέν σε, ὦ Εἰρήνη μάρτυς.

Φιλομαρτύρων δῆμος, ἀθροίσθητε ὑμνῆσαι τὴν νύμφην τοῦ Κυρίου.

Ὠμότητα τυράννων, καὶ ἀπειλὰς ὦ μάρτυς, οὐδόλως ἐπτοήθης.

Εἱρκτὴν παρθενομάρτυς, καὶ ἀκκισμοὺς ὑπέστης ὑπὲρ τοῦ σοῦ νυμφίου.

Τροφὴν ὁ σὸς νυμφίος, ἐν τῇ εἱρκτῇ σου πέμπει, πάνσοφε οὐρανόθεν.

Ἄγγελος οὐρανόθεν, κατῆλθεν ἐνισχύων σε, Εἰρήνη ἐν σταδίῳ.

Τὰ τῶν Ἀγγέλων στίφη, δέχετε τῆς πανσόφου, μάρτυρος νῦν τὸ πνεῦμα.

Τάγμα τῶν Ἀγγέλων, ὦ μάρτυς ἐν σταδίῳ ὁρῶν σε ἐξετλάγη.

Ὢ θαύματος μεγίστου! πῶς τὴν τροφὴν λαμβάνει, ἐξ οὐρανοῦ ἡ μάρτυς.

Ὑπὲρ τῶν σὲ τιμώντων, ἀεὶ τὸν σὸν νυμφίον, πανένδοξε, δυσώπει.

Βασάνους δριμυτάτους ὑπέμεινας γενναίως ὑπὲρ Χριστοῦ Εἰρήνη.

Γένος ὀρθοδόξων Εἰρήνη ἑορτάζει, σήμερον σοὺς ἀγῶνας.

Ἤθλησας Εἰρήνη, ὑπὲρ Χριστοῦ ἀγάπης, καὶ ἤσχυνας τυράννους.

Θαυμάτων κόρη χάριν, παρὰ Χριστοῦ ἐδέξω, Εἰρήνη ἀθλοφόρε.

Ἐκ νόσων καὶ κινδύνων, ταῖς σαῖς εὐχαῖς Εἰ-



ρήνη, λύτρωσαι τοὺς σοὺς δούλους.

Λειψάνων σου τὴν θήκην, πιστῶς νῦν προσκυνοῦμεν, Εἰρήνη ἀθλοφόρε.

Εἰρήνη καλλιμάρτυς, ἐπάκουσόν μου τάχος, θερμῶς σὲ προσκαλοῦντος.

Μαρτύρων καὶ παρθένων, ὡράϊσμα καὶ κλέος, Εἰρήνη σὺ ὑπάρχεις.

Εἰρήνη ἀθληφόρε ἱλέωσαι τὸν κτίστην, ἡμῶν ταῖς σαῖς πρεσβείαις.

Πανευλαβῶς Εἰρήνη, προστρέχωμεν Ναῷ σου, σὲ εὐφημοῦντας ὕμνοις.

Τελοῦμεν σου τὴν μνήμην, ἐν ὕμνοις ὦ Εἰρήνη, Χριστὸν δοξολογοῦντες. Δόξα πατρί.

Χριστέ μου ἀθλοθέτα Εἰρήνη ταῖς πρεσβείαις, σῶσον ἡμᾶς τοὺς πάντας. Καὶ νῦν καὶ ἀεί.

Παρθένε Θεοτόκε, μετὰ τῆς ἀθληφόρου, τὸν σὸν Υἱὸν δυσώπει.

### Εἰς τὸν Πολυέλεον.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Ἀλληλούϊα. Διὰ τοῦτο οὐ φοβηθήσομαι ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἀλληλούϊα. Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι, μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός. Ἀλληλούϊα. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἀλληλούϊα. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ

ἐβουλεύσαντο κατὰ τῶν Ἁγίων σου. Ἀλληλούϊα. Εἶπον, δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους. Ἀλληλούϊα. Ἔθεντο τὰ θνησιμαῖα, τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Ἀλληλούια. Τὰς σάρκας τῶν ὁσίων σου, τοῖς θηρίοις τῆς γῆς. Ἀλληλούϊα. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ Ἀλληλούϊα. Ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλληλούια. Ἐδοκίμασαν ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τῶν νώτων ἡμῶν. Ἀλληλούϊα. Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου. Ἀλληλούια. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν. Ἀλληλούια. Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Ἀλληλούια. Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἀλληλούια. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἀθαυμάτωσεν ὁ Κύριος. Ἀλληλούια. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ἀλληλούια. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Ἀλληλούια. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται. Ἀλληλούια. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθαι δίκαιοι, καὶ καυχᾶσθαι πάντες οἱ εὐθεῖς τῇ καρ-



δίᾳ. Ἀλληλούια. Δόξα πατρὶ Καὶ νῦν καὶ ἀεί. Ἀλληλούια. Ἐκ γ΄.

**Εὐχὴ εἰς διαστάσεις διατελοῦντας.**

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα, φιλάνθρωπε, Βασιλεῦ τῶν αἰώνων καὶ Δημιουργὲ τῶν ἁπάντων. Ὁ τὸ μεσότειχον τῆς ἔχθρας καταλύσας, καὶ εἰρήνην τῷ γένει τῶν ἀνθρώπων δωρησάμενος. Σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, ἔπιδε ἐπὶ τὸν οἶκον τῶν δούλων σου καὶ ἐπέχεε ἐν αὐτῷ τὴν εὐλογίαν σου. Ἐπανάγαγε τὴν διαταραχθεῖσαν εἰρήνην καὶ ἐμφύτευσον εἰς τὰς καρδίας, τῶν ἐν αὐτῷ οἰκούντων τὴν πρὸς ἀλλήλους ἀγάπην. Ἐπιδαψίλευσον ἐν αὐτοῖς γαλήνην πνευματικὴν καὶ πολιτείαν ἀνεπιβούλευτον. Ἵνα ἐν τῇ ψυχῇ ταύτῃ διατελοῦντες γαλήνῃ, ἀπολαύσωσι τῶν οἰκείων ἀγαθῶν, καὶ δοξάζωσί σε τὸν μόνον τῆς ἀγάπης Θεόν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρεσβείαις τῆς Θεοτόκου, τοῦ Ἁγίου Μεγαλομάρτυρος Αἰμιλιανοῦ τοῦ θαυματουργοῦ τοῦ Ὁσίου πατρὸς ἡμῶν Μελετίου καὶ πάντων τῶν Ἁγίων, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

**Εὐχὴ εἰς Βασκανίαν, καὶ πᾶσαν ἀσθένειαν.**

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν δυνάμεων καὶ ἰατρὸς ψυχῶν τε καὶ σωμάτων, ὁ διαφυλάξας

ΕΥΓΕΝΙΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀβλαβῶς τοὺς 3 παῖδας ἐκ τῆς καμίνου, σοῦ δεόμεθα Ὕψιστε καὶ Παντοκράτωρ καὶ σὲ παρακαλοῦμεν γονυκλιτῶς, ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου (τάδε) καὶ ἐλευθέρωσον αὐτὸν ἀπὸ πᾶσαν ἀσθένειαν, καὶ ἀπήλλαξον τῆς ἀφορήτου ὀδύνης, καὶ πᾶσαν ἐνέργειαν τοῦ διαβόλου, πᾶσαν μαγείαν καὶ γοητείαν, φαρμακείαν καὶ βασκανίαν τῶν πονηρῶν ἀνθρώπων, ὑπέταξαν τοὺς πονηροὺς καὶ ἀκαθάρτους δαίμονας, εἰς τόπον ἄνυδρον, εἰς ἄγρια ὄρη, εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ ἀπήλαξον τὸ πλάσμα σου (τάδε) ἐκ τῆς συνεχούσης ἀσθενείας. Ἔκτεινον τὴν χεῖρά σου τὴν δεξιάν, καὶ συγχώρησον αὐτόν τε καὶ πάντας τοὺς εὑρισκομένους, ἐν τῇ ἡμέρᾳ καὶ ὥρᾳ ταύτῃ διότι εἰς ἐσὲ ἁμαρτάνωμεν, καὶ εἰς ἐσὲ ἐλπίζωμεν ἐλπίδα σωτηρίας, καὶ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν μας. Πρεσβείαις τῆς Θεοτόκου, τῶν φωτοειδῶν Ἀρχαγγέλων τοῦ Βαπτιστοῦ Ἰωάννου, τῶν θεοκηρύκων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων.

**6. Αὐγούστου. Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος.**

**Ἀργία καὶ κατάλυσις ἰχθύος, ὁποιανδήποτε ἡμέραν τύχῃ. Τροπάριον ἐν τῇ ἀγρυπνίᾳ τῆς Λιτῆς Ἦχος β'.**

Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας εἰς ὄρος ὑψηλὸν μετεμορφώθης Ἀγαθέ, δείξας ταῖς Μαθηταῖς σου τὴν δυναστείαν σου, ὅτι κόσμου λυτροῦσαι ἐκ παραβάσεως δι' ὃ βοῶμεν σοι·



Εὔσπλαγχνε Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ Ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο· Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι. Εἰσοδικόν.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ Ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον Ἦχος Βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξουσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τὸ Τρισάγιον, ὁ Ἀπόστολος, τὸ Εὐαγγέλιον εἰς τὸ Ἐξαιρέτως.

Θαβὼρ ἐν Ὄρει Σῶτερ, Μετεμορφώθης δείξας μαθητῶν θείαν δόξαν.

Νῦν τὰ ἀνήκουστα ἠκούσθη, ὁ ἀπάτωρ γὰρ Υἱὸς ἐκ τῆς Παρθένου τῇ πατρῴα φωνῇ, ἐνδόξως μαρτυρεῖται, οἷος Θεός, καὶ ἄνθρωπος, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας.

ΒΕΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΚΑΘΗΓΗΤΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἰς τὰ Δίπτυχα τὸ παρὸν Μεγαλυνάριον.

Θέλων ἐπιδεῖξαι τοῖς Μαθηταῖς δύναμιν ἐξ ὕψους καὶ σοφίαν παρὰ Πατρός, ἐν ὄρει ἀνῆλθες Χριστὲ τῷ Θαβωρίῳ καὶ λάμψας ὡς Δεσπότης πάντας ἐφώτησας.

Κοινωνικόν.

Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε, πορευσώμεθα εἰς τὸν αἰῶνα. Ἀλληλούϊα.

## Ὁμιλία εἰς τὴν Ἁγίαν Μεγαλομάρτυρα Εἰρήνην

Εὐλόγησον Πάτερ. Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων.

Ἡ Ἁγία καὶ ἔνδοξος νύμφη τοῦ Οὐρανίου Βασιλέως Χριστοῦ, ἐγεννήθη τὸ 315 μετὰ Χριστὸν κατήγετο ἐκ τῆς μεγαλουπόλεως Μαγεδόνος τῆς Περσίας, ἦτο μονογενὴς θυγάτηρ τοῦ Βασιλέως Λυκινίου εἰδωλολάτρου καὶ Λυκινίας τῆς συζύγου αὐτοῦ, ὠνομάζετο πρότερον Πηνελόπη, ἦτο δὲ φύσει πολὺ ὡραία σωματικῶς καὶ εὐφυεστάτη, ὅπου ὁ πατὴρ αὐτῆς ἔκαμε πύργον ὑψηλὸν καὶ μεγαλοπρεπῆ, καὶ ἔμενον εἰς αὐτόν, σπουδάζουσα νὰ τῆς δώσῃ μεγάλην μόρφωσιν, ὅπου διώρισεν ἕνα εὐσεβῆ καὶ σεβάσμιον γέροντα ὀνομαζόμενον Ἀπιλλιανόν, καὶ ὑπηρεσίαν ἀρκετὴν διαμένουσα, προσευχομένη καὶ μελετῶσα τὰ μαθήματά της, ὅπου κατελήφθη ἐκ θεϊκοῦ πόθου, κατανοοῦσα, τὴν Δημιουργίαν τοῦ Κυρίου, νὰ εὑρίσκεται εἰς τὴν πλάνην τῆς εἰδωλολατρείας . . . Ταῦτα διαλογιζομένη εἶδε καθ' ὕπνον της περι-



στερὰν βαστάζουσαν κλάδον ἐλαίας, ἐπὶ τῆς τραπέζης ὅπου ἐκάθητο ἡ Ἁγία καὶ ἀπῆλθε, μετὰ ταῦτα εἶδεν ἐκ τοῦ ἄλλου παραθύρου ἀετὸν φέροντα στέφανον κατασκευασμένον ἐκ ῥόδων, καὶ ἄλλων διαφόρων ἐκλεκτῶν ἀνθέων, τὸν ἀφῆκεν ἐπὶ τῆς τραπέζης καὶ ἀνεχώρησεν, μετ' ὀλίγον εἶδεν καὶ εἰσῆλθε κόραξ κρατῶν ὄφιν, ἀφήσας ἐπὶ τῆς τραπέζης καὶ ἀνεχώρησεν.

Διεγερθεὶς ἡ Ἁγία, διελογίζετο τί ταῦτα ἐσήμαινον. Μὴ δυναμένη νὰ ἐξηγήσῃ τὸ δραμα τοῦτο, ἐπεκαλέσθη τὴν συμβουλὴν τοῦ διδασκάλου της Ἀπιλλιανοῦ, ὅστις ἀκροασθεὶς καλῶς καὶ μετὰ προσοχῆς τὴν διήγησιν τῆς Πηνελόπης, καὶ φωτισθεὶς ἐκ θείου Πνεύματος, ἔδωκεν ὀρθὴν ἐξήγησιν τοῦ θείου δράματος λέγων.

Ἡ περιστερὰ συμβολίζει τὴν θείαν διδασκαλίαν καὶ τὴν θείαν γνῶσιν ὅπου ἐπιθυμεῖς νὰ μάθῃς· ὁ κλάδος τῆς ἐλαίας δηλοῖ τὸ θεῖον βάπτισμα· ὁ ἀετὸς τὸν στέφανον τῆς νίκης, ὅπου μέλλεις νὰ λάβῃς ἀγωνιζομένη ὑπὲρ τῆς πίστεως· ὁ δὲ κόραξ δηλοῖ τὰς θλίψεις καὶ τὰς στεναχωρίας ὅπου θὰ ὑποστῇ , ὅταν ἀναλάβῃς τὸν καλὸν ἀγῶνα τοῦ μαρτυρίου.

Ἔκτοτε ἡ Ἁγία κατελήφθη ἐκ θείου ζήλου, νὰ μάθῃ τὰ μυστήρια τοῦ Θεοῦ τῆς ὀρθῆς πίστεως. Ἐπειδὴ ἦτο κεκλεισμένη εἰς τὸν πύργον παρεκάλει τὸν Κύριον νύκτα καὶ ἡμέραν προσευ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

χομένη, ἀγρυπνοῦσα καὶ δακρύουσα νὰ οἰκονομήσῃ τὸ κατάλληλον μέσον νὰ πληρωθῇ ὁ οὐράνιός της πόθος, ὡς καὶ ἠξιώθη νὰ εἰσακουσθῇ ἡ δέησίς της. Ἀπεστάλη παρὰ τοῦ μόνου ἀληθινοῦ Θεοῦ, οὐράνιος Ἄγγελος καὶ τῆς λέγει, εἰσακούσθη ἡ δέησίς σου, καὶ ἀπὸ σήμερον ὅπου ὀνομάζεσαι Πηνελόπη θὰ λέγεσαι Εἰρήνη, καὶ αὔριον θὰ ἔλθῃ ὁ μαθητὴς τοῦ Ἀποστόλου Παύλου ὀνόματι Τιμόθεος, ὅπου θέλει σὲ κατηχήσει καὶ βαπτίσει καὶ θὰ σὲ διδάξῃ ὅσα ἐπιθυμεῖς νὰ μάθῃς, καὶ ἔγεινεν ἀφανὴς ὁ θεῖος Ἄγγελος.

Ἐλθὼν ὁ Ἀπόστολος Τιμόθεος τὴν ἐπιοῦσαν τὴν ἐβάπτισεν, καὶ τὴν ἐδίδαξεν κοινωνήσας τῶν ἀχράντων μυστηρίων, ἀφήσας ὡς δῶρον τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον.

Μετὰ τὴν ἀναχώρησιν τοῦ Ἀποστόλου Τιμοθέου, ἀναγινώσκουσα τὸ ἱερὸν Εὐαγγέλιον καὶ ἄλλα ῥητὰ τῶν θεοπνεύστων Πατέρων ᾐσθάνθη μέσα εἰς τὴν ψυχήν της τὴν νέαν θρησκείαν, ὅπου ὅλα τὰ χρυσᾶ καὶ ἀργυρᾶ εἴδωλα τὰ ἔρριψεν ἐκ τοῦ παραθύρου καὶ τὰ ἐσύντριψαν, ὡς καὶ 13 νεάνιδες ὅπου εἶχεν εἰς τὴν ὑπηρεσίαν της ἐπίστευσαν εἰς τὸν Χριστόν. Ἔχων ἡ Ἁγία ἡλικίαν 12 ἐτῶν, ὅπου εἶχαν ἑορτὴν οἱ εἰδωλολάτραι καὶ τὴν ἐκατέβασεν ὁ πατήρ της ἐκ τοῦ πύργου μετὰ μεγάλης πομπῆς καὶ παρατάξεως νὰ θυσιάσῃ ἡ Ἁγία τὰ εἴδωλα, ἀκούσασα ἐκ τοῦ στόματός της



ὅτι ἔχω βαπτισθῇ ὑπὸ τοῦ Ἀγγέλου καὶ ὀνομάζομαι Εἰρήνη καὶ προσκυνῶ Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, καὶ οἱ Θεοί σας εἶναι δαίμονες, ἔγεινεν ἄλλος ἐξ ἄλλου ἐξηγριώθη, καὶ ἔδωσε μαρτυρία, ὅπου διὰ τῆς Ἁγίαν ἐπίστευσαν 50 χιλιάδες ἄνδρες καὶ γυναῖκες

Παρέστη ἡ Ἁγία εἰς κρίσιν πρῶτον ὑπὸ τοῦ πατρός της Λυκινιοῦ, δεύτερον δὲ ὑπὸ τοῦ Σεδεκίου καὶ Σαβὼρ Νουμεριανοῦ υἱοῦ Σεβαστιανοῦ, καὶ τοῦ Ἐπάρχου Βαΐδωνος, καὶ Σαβωρίου τοῦ Βασιλέως Περσῶν, αἱ δὲ πόλεις ὅπου ἐμαρτύρησεν ἡ Ἁγία Εἰρήνη εἶναι αὗται Μαγεδὼν ἡ πατρὶς τῆς Καλλίνικος Κωνσταντίνα καὶ Μεσημβρία. Τὸ μαρτύριον τὸ συνέγραψεν ὁ διδάσκαλος, σώζονται ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος Ἁγία Λαύρα καὶ Ἰβήρων τὰ ἱερὰ καὶ Ἅγια λείψανα ὅπου ἠξιώθην τὸ ἔτος 1904 κατὰ Ἰούνιον μῆνα νὰ τὰ προσκυνήσω, ἧς ταῖς πρεσβείαις καὶ ἱκεσίαις τῆς ἀθληφόρου, μεγαλομάρτυρος καὶ πανευφήμου Εἰρήνης καὶ τῶν λοιπῶν Ἁγίων ἑορταζομένων μετὰ τῆς Θεοτόκου καὶ πάντων σου τῶν Ἁγίων νὰ διαφυλάττῃ τὴν Πόλιν ταύτην καὶ πᾶσαν Πόλιν καὶ Χώραν. Γένοιτο.

*Ἀθῆναι Ἀπρίλιος 1928.*

Ὁ Πνευματικὸς Πατὴρ
**ΓΕΩΡΓΙΟΣ ΒΟΥΤΕΡΗΣ** Ἱερεύς

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

1. 'Ακολουθία τοῦ 'Αποστόλου Θωμᾶ καὶ τῆς Θεοτόκου
2. Εὐαγγελιστοῦ Λουκᾶ. 'Οκτωβρίου 18.
3. 'Αγίου Φανουρίου. Αὐγούστου 27.
4. 'Αγίου Μοδέστου. Δεκεμβρίου 16 καὶ 18.
5. » Θεράποντος. Μαΐου 14 καὶ 27.
6 » Αἰμιλιανοῦ. 'Ιουλίου 18.
7. » Νικήτα. Σεπτεμβρίου 15.
8. » 'Αντωνίου τοῦ Νέου. Φεβρουαρίου 5.
9. 'Αγίας Πελαγίας. 'Οκτωβρίου 8.
10. 'Αγίου Ζησίμου. 'Ιουνίου 19.
11. 'Αγίου Νικολάου τοῦ Νέου. Μαΐου 9.
12. 'Αγίας 'Αθανασίας Αἰγινίτιδος. 'Απριλίου 18.
13. 'Αγίου μάρτυρος Λογγίνου τοῦ 'Εκατοντάρχου. 'Οκτωβρίου 16.

'Ακολουθία 'Αγίας Εἰρήνης Μαΐου 5.
» » Κυριακῆς 'Ιουλίου 7.

Χαιρετισμοὶ εἰς τὸν Ἅγιον Νικόλαον, Δεκεμ. 6.
» 'Αγ. Διονυσίου 'Αρχιεπ. Αἰγίνης Δεκ. 17.
» Εἰς τοὺς Πρωτοκορυφαίους 'Αποστόλους Πέτρον καὶ Παῦλον. 'Ιουνίου 29.

Χαιρετισμοὶ εἰς τοὺς 'Αγίους Πάντας καὶ τοὺς 3 'Ιεράρχας. Βασίλειον, Γρηγόριον καὶ 'Ιωάννην τὸν Χρυσόστομον. 'Ιανουαρίου 30.

Χαιρετισμοὶ εἰς τὸν Ἅγιον 'Ιωάννην τὸν Θεολόγον καὶ Εὐαγγελιστήν. Μαΐου 8 καὶ Σεπτεμ. 26.

'Ομιλία συμβουλευτικὴ περὶ ἐνδυμασίας ἀνδρῶν καὶ γυναικῶν καὶ διαφόρων ἄλλων ῥητῶν.

Καὶ 2 φυλλάδ. 'Αποστολ. Κανόν. ἐκ τοῦ 'Ιεροῦ Πηδαλίου.

Εὑρίσκονται καὶ ἄλλων διαφόρων 'Αγίων, 'Ακολουθίαι παρ' ἐμοί, μὲ τιμὴν ἐλαχίστην, τῶν τυπογραφικῶν ἐξόδων καὶ πρὸς ψυχικὴν σωτηρίαν.

'Ο Πνευματικὸς Πατὴρ
ΓΕΩΡΓΙΟΣ ΒΟΥΤΕΡΗΣ
'Ιερεὺς καὶ προσκυνητὴς καὶ Πνευματικὸς
'Εφημ. καὶ κτήτωρ τοῦ Ναοῦ 'Οσίου Μελετίου. Ἔτος 1928.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ